Legrand, Bibl. Hell. XVIII s. 1, σ. 187-190 (1)

Βλάχος
Γεράσιμος

Υπὸ Legrand περιγράφεται ἔνθ' ἀνωτ. (ἀριθ. 152) τὸ βιβλίον:

«ΓΕΡΑΣΙΜΟΥ ΒΛΑΧΟΥ ΤΟΥ ΚΡΗΤΟΣ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΦΙΛΑΔΕΛΦΕΙΑΣ, Καὶ τῶν ἐν Ἐνετίαις Ῥωμαίων Προέδρου ΘΗΣΑΥΡΟΣ ΤΕΤΡΑΓΛΩΣΣΟΣ Ἐκ διαφόρων παλαιῶν τε καὶ νεωτέρων Λεξικῶν συλλεχθείς, Μετὰ τῆς τῶν ἐπιθέτων ἐκλογῆς, καὶ ἄλλου τῶν Λατινικῶν τε καὶ Γαλλικῶν λέξεων Πίνακος. Νεωστὶ μετὰ προσθήκης πλείστων ἀναγκαίων λέξεων, Καὶ μετ' ἀκριβοῦς ἐπανορθώσεως κατὰ τοὺς νεωτέρους ἐν τῇ Λατινικῇ καὶ Γαλλικῇ γλώσσῃ τῆς Ὀρθογραφίας κανόνας Μεταποιηθείς.

GERASIMI VLACHI CRETENSIS ARCHIEPISCOPI

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

PHILADELPHIÆ ... THESAURUS ... in Italica Lingua Orthographiae leges emendatus.

ΕΝΕΤΙῌΣΙΝ, ͵αψμγ΄. Παρά Ἀντωνίῳ τῷ Βόρτολι. SUPERIORUM PERMISSU, AC PRIVILEGIO.»

Τό βιβλίον εἶναι σχήματος 4ου ἐκ 4 φύλλων ἄνευ ἀριθμήσεως καί 647 σελίδων, περιέχονται δέ ἐν αὐτῷ:

α΄) Εἰδοποίησις: «Ὁ φιλέλλην τυπογράφος πρός τούς φιλολόγους ἀναγνώστας»

β΄) Ἐπίγραμμα: «Πρός τόν πανιερώτατον καί σοφώτατον δεσπότην Γεράσιμον τόν Βλάχον ἐκ Κρήτης, μητροπολίτην Φιλαδελφείας, καί ἐν τῷ πανσέπτῳ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τῶν Ἐνετίῃσι Ῥωμαίων πρόεδρον, τοῦ ταπεινοῦ συμπολίτου Νικολάου Βουβουλίου, ἰατροσοφιστοῦ, ἀσυγκρίτου εὐλαβείας μνημόσυνον.»

Ὄρθριος ἀντέλλων τεθρίππῳ ἐφ᾽ ἅρματι Φοῖβος

./.

Ακαδημία Αθηνών / Academy of Athens

Legrand, Bibl. Hell. XVIII, 1, σ. 187-190 (2) Βλάχος

Γεράσιμος

δυσμῶν μέχρι θέει, τέρματα γῆς γανόων·
φωσφόρος ὀρνύμενος, κἀθ' ἕσπερον οἶμον ἀμείψας,
αὖ τε παλινδρομέων πάντεσσι λαμπετόει·
τὼς σύ, πάτερ θεόκλητε, διοτρόφος ὅν φέρε πάτρη,
εἰς Ἐνετῶν πρώτην δέδρομας ἀκρόπολιν· (α)
ἔνθα δαημοσύνῃ, κηρύγματι, καὶ τετραγλώσσῳ (β)
θησαυρῷ, καὶ ὅρων ἤγασας ἁρμονίῃ (γ)
Πὰρ Φαλάκεσιν αὖθι φαάνθης, οἶμον ἀμείψας (δ)
κοινοβοιοκράντωρ ἀγνοτόκοιο Κόρης.
Νῦν δὲ παλινδρομέεις Φιλαδέλφῳ ὀχούμενος ἕδρῃ (ε),
ἡμέων εὐθορέων ἡγεμονεὺς κλισίης.
Ἔγρεαι εὐκλεέως, πιστοὺς ἄκνητι γανώσων
αἰπυτάτων ἀρετῶν, τῆς μέγα λαμπετόεις.
Καλὸν ἔει ἐσθλοῖς σε ὀπηδέμεν ἀρχιερῆσιν,

./.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἑλλαδικῶν ὅπερ ᾧ λώϊον ἀρχιθύτῃ(γ)).
Φοῖβος ἄρ' οὖν γαίης κύκλον πέρι μέσφα δραμεῖται
τόν περὶ γῆς θρέξει ἄπλετον εὖχος ὅρους.

Εἰς τό φ. 4ον.

«Ἐξηγήσεις κατά τό παρόν ἔτος τῆς τοῦ λεξικοῦ μετατυπώσεως προστεθεῖσαι.

(α). Γεράσιμος ἡγούμενος ὁ Βλάχος ἦλθεν εἰς Βενετίαν ἐκ Κρήτης ἐν ἔτει ͵αχνθ΄.

(β). Ἐψηφίσθη διδάσκαλος καί ἱεροκήρυξ τοῦ Γένους.

(γ). Συνέγραψε τό παρόν λεξικόν καί ἑτέραν γραικολατίνων ἐκτυπωθεῖσαν βίβλον, ἧς ἡ ἐπιγραφή: Ἁρμονία ὁριστική τῶν Ὄντων· ἔτι δέ καί κατ' ἀμφοτέρας τάς διαλέκτους φιλοσοφικά τε καί θεολογικά μαθήματα. Συνέγραψε δέ καί χυδαίᾳ γλώσσῃ πλείστας καί ὑπ' αὐτοῦ προσφωνηθείσας διδαχάς, ὁμιλίας τε καί λόγους· καί προσέτι ἑλληνιστί συναγωγάς, συλλογάς, ἐκλογάς, σύμμικτα, σημειώσεις τε καί ὑπομνήματα

./.

Ακαδημία Αθηνών / Academy of Athens

Legrand, Bibl. Hell. XVIII, 1, σ. 187-190 (3) Βλάχος Γεράσιμος

εἰς τὴν θείαν Γραφήν, εἰς τοὺς ἁγίους πατέρας καὶ εἰς τὰς ἱερὰς συνόδους. Ταῦτα δὲ πάντα ἀνέκδοτα τῇ ἰδίᾳ τοῦ αὐτοῦ φιλοπόνου ἀνδρὸς χειρὶ γεγραμμένα καὶ εἰς σχεδὸν τεσσαράκοντα διῃρημένα βιβλία, εὑρίσκονται ἐν τῇ αὐτοῦ παρὰ τοῖς ἐνθάδε Ῥωμαίοις σωζομένῃ βιβλιοθήκῃ.

(δ). Ἀπῆλθεν εἰς Κέρκυραν ἀναγορευθεὶς καθηγούμενος τῆς ἐν Παλαιοπόλει σεβασμίας μονῆς τῆς ὑπεραγίας Θεοτόκου.

(ε). Πάλιν ὑπέστρεψεν εἰς Βενετίαν κατὰ τὸ ͵αχπα΄ ἔτος, παμψηφεὶ ἀνακηρυχθεὶς μητροπολίτης Φιλαδελφείας, καὶ μετὰ τρία ἔτη κατὰ τὸν Μάρτιον μῆνα ἐπανεπαύθη ὑπέργηρως.

(ζ). Διάδοχος Μεθοδίου Μορωνίου Κυδωνιέως ἐκ Κρήτης, τοῦ πρὶν Κωνσταντινουπόλεως πατριάρχου, τοῦ καί, μετὰ τὴν παραίτησιν τοῦ οἰκουμενικοῦ θρόνου, ταύτην τὴν τῆς Φιλαδελφείας διαδεξαμένου προεδρίαν.»

Ακαδημία Αθηνών / Academy of Athens